τοῖς ἄλλοις παρῄνει, τοὺς δὲ ἄλλως πως ποιοῦντας
2 περιέργους καὶ ματαίους ἐνόμιζεν εἶναι. καὶ ηὔχετο
δὲ πρὸς τοὺς θεοὺς ἁπλῶς τἀγαθὰ διδόναι, ὡς τοὺς
θεοὺς κάλλιστα εἰδότας ὁποῖα ἀγαθά ἐστι· τοὺς δ'
εὐχομένους χρυσίον ἢ ἀργύριον ἢ τυραννίδα ἢ ἄλλο
τι τῶν τοιούτων οὐδὲν διάφορον ἐνόμιζεν εὔχεσθαι
ἢ εἰ κυβείαν ἢ μάχην ἢ ἄλλο τι εὔχοιντο τῶν φανερῶς
3 ἀδήλων ὅπως ἀποβήσοιντο. θυσίας δὲ θύων μικρὰς
ἀπὸ μικρῶν οὐδὲν ἡγεῖτο μειοῦσθαι τῶν ἀπὸ πολλῶν
καὶ μεγάλων πολλὰ καὶ μεγάλα θυόντων. οὔτε γὰρ
τοῖς θεοῖς ἔφη καλῶς ἔχειν, εἰ ταῖς μεγάλαις θυσίαις
μᾶλλον ἢ ταῖς μικραῖς ἔχαιρον (πολλάκις γὰρ ἂν αὐτοῖς
τὰ παρὰ τῶν πονηρῶν μᾶλλον ἢ τὰ παρὰ τῶν χρηστῶν
εἶναι κεχαρισμένα), οὔτ' ἂν τοῖς ἀνθρώποις ἄξιον εἶναι
ζῆν, εἰ τὰ παρὰ τῶν πονηρῶν μᾶλλον ἦν κεχαρισμένα
τοῖς θεοῖς ἢ τὰ παρὰ τῶν χρηστῶν· ἀλλ' ἐνόμιζε τοὺς
θεοὺς ταῖς παρὰ τῶν εὐσεβεστάτων τιμαῖς μάλιστα χαί-
ρειν. ἐπαινέτης δ' ἦν καὶ τοῦ ἔπους τούτου·

Καδδύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσι,

καὶ πρὸς φίλους δὲ καὶ ξένους καὶ πρὸς τὴν ἄλλην δίαι-
ταν καλὴν ἔφη παραίνεσιν εἶναι τὴν Καδδύναμιν δ'
4 ἔρδειν. εἰ δέ τι δόξειεν αὐτῷ σημαίνεσθαι παρὰ τῶν
θεῶν, ἧττον ἂν ἐπείσθη παρὰ τὰ σημαινόμενα ποιῆ-

---

1 πως om. **Z** 2 alt. καὶ om. **MORZ** ηὔχετο **Y** εὔχετο rell. 3 πρὸς] καὶ **A** τὰ ἀγαθὰ **A** 5 ἄργυρον **Y** 6 τι s. v. **M**$^1$ διαφέρον **A** ⟨τι⟩ διαφέρον Hertlein ἔσεσθαι **R** 7 ἢ εἰ ἄλλο τι τῶν × × × φανερῶς ἀδήλων εὔχοιτο (item **X**) ὅπως ἀποβήσοιτο **A** 8 ἀποβησοιντο **BY** -σοιτο rell. 10 γὰρ ⟨ἂν⟩ Hdf. 13 alt. τὰ s. v. **A**$^1$, om. **X** 14 εἶναι κεχ. . . . χρηστῶν (16) om. **Z** 15 τοῖς θεοῖς κεχαρισμένα **A** 16 τὰ om. **X** τοὺς s. v. **Y**$^1$ 18 τούτου τοῦ ἔπους **A** 19 δ' om. **Z** ἱεράτ' **XZ** 20 καὶ πρὸς . . . δίαιταν (δύναμιν **Y**) om. **Z** 21 δ' om. **DY** 22 τῶν om. **BX**